Δῦ δέσποτα :-

Ὁ τῶν ἀΰλων πνευμάτων κύριος. κ(αὶ) πάσης σαρκὸς ἐξουσια-
στὴς κ(αὶ) πρύτανις. ὁ κ(αὶ) τὴν ἡμετέραν διαπλάσας οὐσίαν. καὶ
πάντα δὲ τὸν ὁρώμενον κόσμον ὑποστήσας κ(αὶ) συγκρατῶν. κ(αὶ) σώ-
ζων διὰ τὸν ἄνθρωπον. μᾶλλον δὲ δι' ἀγαθότητα μόνην. ἐξου-
κόντων τὸ εἰς τὸ εἶναι τὰ πάντα παραγαγὼν, αὐτὸς ἐστὶ μο-
νος ὁ φύσει κ(αὶ) κύριος. κ(αὶ) πρῶτος καθηγεμὼν κ(αὶ) κηδεμών. κ(αὶ)
προμηθεὺς πρόδηλος τῶν ἁπάντων. κ(αὶ) παντὸς ἀγαθοῦ
λεγομένου τε κ(αὶ) νοουμένου ποιητικὸς κ(αὶ) μεταδοτικὸς κ(αὶ) παρ-
εκτικὸς κ(αὶ) πρωταίτιος. ἐπέστησε δὲ ἡμῖν δευτέρους τε κ(αὶ) θείους
ἀγγέλους κ(αὶ) ἀρχαγγέλους. κηδεμόνας κ(αὶ) προεστῶτας. προμη-
θούμενος τὸ γένος τῶν ἀνθρώπων διὰ τὴν φυσικὴν ἀγαθότητα,
τοῦ χορηγεῖν τοὺς ἀνθρώπους τὰς θείας ἀγγελίας κ(αὶ) δωρεάς.
καὶ ῥυθμίζειν κ(αὶ) διευθύνειν αὐτῶν τὴν ζωὴν πρὸς τὰ κρείττο-
να. κ(αὶ) τοὺς μὲν, τῶν θείων κ(αὶ) ἀπείρων ἀγγέλων ἕνα ἕκαστον
ἑνὶ ἑκάστῳ τῶν πιστῶν διακυβερνᾶν κ(αὶ) προεστάναι ὁ δεσπότης
προσέταξεν. ὡς φησὶν ἐν τοῖς θείοις εὐαγγελίοις. ὁρᾶτε μὴ κα-
ταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων τῶν πιστευόντων· ὅτι
οἱ ἄγγελοι αὐτῶν διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός
μου τοῦ ἐν οὐρανοῖς. ὡσαύτως γε μὴν, ἐκπαιδοῖ τὴν τοσαύτην δό-
ξαν. κ(αὶ) δαβὶδ ὁ θηγόρος φάσκων. μὴ δῷς εἰς σάλον τὸν πόδα
σου. κ(αὶ) οὐ νυστάξει ὁ φυλάττων σε ἄγγελος. τοὺς δὲ ἐπιτροπεύειν
τὰ ἀλλόφυλα κ(αὶ) ἄγνωστα ἔθνη· ὡς πρύτανις πάντων ἐπέστησε κα-
τὰ ἀριθμὸν τῶν ἐθνῶν ἕνα ἄγγελον. ἔθνος ὁλόκληρον διακυβερ-
νᾶν. ὡς ἐν τῇ μωσαϊκῇ ᾠδῇ γέγραπται. ὅτε διεμέριζεν ὁ ὕψιστος
ἔθνη. ὡς διέσπειρεν υἱοὺς ἀδάμ. ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθ-
μὸν ἀγγέλων θεοῦ. τὸν δὲ μιχαὴλ τὸν ὑπερεύφημον κ(αὶ) πανεξαίρε-
τον κ(αὶ) πανσεβάσμιον ἀρχιστράτηγον τῶν κρειττόνων κ(αὶ) θεοφρου-
ρημένων. κ(αὶ) πιστοτάτων ἀνθρώπων ἁπάντων προστάτην κ(αὶ) στρα
προεχειρίσατο. καθὼς αὐτὸς ὁ τῶν ὅλων θεὸς πρὸς τὸν ἱεροφάντα
μωυσῆν φάσκει. πορεύθητι πρὸς φαραὼ βασιλέα αἰγύπτου, κ(αὶ)
ἐξάξεις τὸν λαόν μου τοὺς υἱοὺς ἰσραὴλ ἐξ αἰγύπτου. κ(αὶ) ἀποστελῶ τὸν
ἄγγελόν μου πρὸ προσώπου σου. κ(αὶ) κατασκευάσει τὴν ὁδόν σου ἔμ-
προσθεν σου, τοῦ εἰσαγαγεῖν τὸν λαόν μου εἰς τὴν ὑπηγγελμένην
γῆν. ἣν ὤμοσα τοῖς πατράσιν ὑμῶν. ἀλλὰ κ(αὶ) ὁ προφήτης δανιὴλ
ἐν τῇ τοῦ ἀγγέλου ὀπτασίᾳ ἤκουσεν αὐτοῦ λέγοντος. ὅτι ὁ ἄρ-
χων ἤγουν ὁ ἐπιστάτων ἄγγελος τῆς βασιλείας περσῶν εἱστήκει ἐξ
ἐναντίας μου τοῦ μὴ ἀνακληθῆναι τὸν λαὸν τοῦ ἰσραὴλ ἐκ τῆς αἰχ-
μαλωσίας βαβυλῶνος. κ(αὶ) οὐκ ἔστιν οὐδεὶς ἀντεχόμενος μετ' ἐμοῦ
περὶ τούτων. ἀλλ' ἢ μιχαὴλ ὁ ἄρχων ἡμῶν. τὸ αὐτὸ δὲ, οὗτος ὁ δα-

Alia ἀϋλία τοῦ θεοῦ, alia ἀγγέλων, alia τῆς ψυχῆς. vid. Nicetae Sebal. ad Greg. Naz. Tetr. Ακολ. V. p. 5. b.

γρ. ἐνοι ~~...~~ κούν-

Theodoret. l. V. divinor. decretor. cap. de Angelis; et Comm. in Danielem, Angelos curam memoratarum gentium accepisse et singulos singularum: quos tamen Deos non adorandos eum censuisse patet ex ipsius Theodoreti Comm. in Pauli Ep. ad Coloss. II. 18. Secus ac Binio visum in Notis ad Conc. Laodic. can. 35. ubi Theodoretum ex superiori loco indicato improbasse ac confirmasse cultum adorandi Angelorum.

γρ. τη σωτῆρα